Msc. Dresd.
Da. 32.

http://digital.slub-dresden.de/ppn346852420/1

http://digital.slub-dresden.de/ppn346852420/2

I

http://digital.slub-dresden.de/ppn346852420/3

http://digital.slub-dresden.de/ppn346852420/4

Συντίπας.

Fabr. Bibl. Gr. Vol. X. p. 339.
Ex Cod. SS. Synodi num. 285.



# Συντίπα τοῦ φιλοσόφου μῦθοι ἐκ τῶν παραδειγματικῶν λόγων αὐτοῦ.

---

α.

Ὄνος καὶ τέττιξ.

Ὄνος ἀκούσας φωνῆς τέττιγος, ἡδέως αὐτῇ ἐπετέρπετο, καὶ τὸν τέττιγα ἐπηρώτα, λέγων, τί ἄρα τρεφόμενος οὕτω γλυκεῖαν ἔχει τὴν φωνήν; ὁ δὲ τέττιξ τῷ ὄνῳ ~~ἀπεφθέγξατο~~ ἀντεφθέγξατο, ἡ ἐμὴ τροφὴ ἀήρ ἐστι καὶ δρόσος. ὁ δὲ ὄνος τοῦτο ἀκούσας τοῦ ῥήματος, ἐνόμισε μέθοδον εὑρηκέναι, δι' ἧς ὁμοίαν τῷ τέττιγι σχοίη ~~τὴν~~ φωνήν, καὶ τὸ στόμα εὐθὺς ἀνοίξας πρὸς τὸν ἀέρα κεχήνωτο, ὡς δεχόμενος οὐδὲν δρόσον εἰς διατροφήν, ἕως οὗ τῷ λιμῷ τέλεον διεφθάρη.

Οὕτως οὐ δεῖ τινὰ τὰ φυσικὰ τοῖς παρὰ φύσιν ἐξομοιοῦν καὶ τοῖς ἀδυνάτοις ἀφρόνως ἐπιχειρεῖν.

φωνή. 1.
ἐξετέρπετο. 1.
~~[illegible]~~
~~τὴν φωνήν~~ τὴν φ. 2.
κεχήνωτο. 1.
δεξάμενος. 1.

β.

ἄνθρωπος καὶ θάνατος.

Ἄνθρωπός τις ἦν πένης, ὃς καὶ ξύλων γόμον ἐπὶ τῶν νώτων ἐβάσταζε. κατὰ δὲ τὴν ὁδοιπορίαν ἰλιγγιάσας ἐκαθέσθη, (καὶ τὸν γόμον τῶν ξύλων κατέθετο) καὶ τὸν θάνατον οἰκτρῶς ἀνεκαλεῖτο λέγων· ὦ θάνατε. αὐτίκα γοῦν ὁ θάνατος ἔφθασε (καὶ πρὸς αὐτὸν ἔφησε) τίνος χάριν ἐκάλεσάς με. λέγει πρὸς αὐτὸν ὁ ἀνήρ· ἵνα τὸν γόμον ἀπὸ τῆς γῆς συνεξάρῃς μοι.

Ὁ μῦθος δηλοῖ, ὅτι πάντες ἄνθρωποι φιλόζωοι τυγχάνουσιν, εἰ καὶ θλίψεσι καὶ ἀνάγκαις συνέχονται.

ἦν τις. 1.
ἰλιγγιάσας. 2.
καὶ... omittit. 1.
καὶ... omittit. 1.
ὁ λόγος, ὁ μῦθος. 1.
συνεχώρῃ. 1.

Χελιδὼν καὶ κόραξ.

Vide fab. Aesop. LXXVI. edit. Heusingeri.

γ.

Χελιδὼν καὶ κόραξ περὶ κάλλους ἀλλήλοις ἐμάχοντο. φησὶν οὖν ὁ κόραξ τῇ χελιδόνι, τὸ σὸν κάλλος

) φαίνεται. 1.
) τῷ omittit. 1.

ἐν μόνῳ τῷ ἔαρι καταφαίνεται. ἐν δὲ τῷ τοῦ χειμῶνος καιρῷ οὐ δύναται πρὸς τὸ ψύχος ἀντέχειν. τὸ δὲ ἐμὸν σῶμα καὶ τῷ κρύει τοῦ χειμῶνος καὶ τῷ καύσωνι τοῦ θέρους γενναίως ἀνθίσταται.

Ὁ μῦθος δηλοῖ, ὡς ὑγεία καὶ ῥώμη σώματος κρείττων κάλλους καὶ ὡραιότητος πέφυκε.

## Ποταμοὶ καὶ θάλασσα.

δ.

) καὶ ἀπότους omittit. 1.

vide in fine.

Ποταμοὶ συνῆλθον ἐπὶ τὸ αὐτὸ καὶ τὴν θάλασσαν κατῃτιῶντο λέγοντες αὐτῇ, διατί ἡμᾶς, εἰσερχομένους ἐν τοῖς ὕδασι καὶ ὑπάρχοντας ποτίμους καὶ γλυκεῖς, ἀπεργάζῃ ἁλμυροὺς καὶ ἀπότους; ἡ δὲ θάλασσα ἰδοῦσα, ὅτι αὐτῆς καταμέμφονται, λέγει πρὸς αὐτούς, μὴ ἔρχεσθαι, καὶ μὴ γίνεσθαι ἁλμυροί.

) τινὰς αἰτιωμένους. 1.

Οὗτος ὁ μῦθος παριστᾷ τοὺς ἀκαίρως αἰτιωμένους τινὰς, καὶ παρ' αὐτῶν μᾶλλον ὠφελουμένους.

## Γαλῆ καὶ ῥίνος.

ε.

) ῥίνον. 1.
) ἀνέλειχεν. 1.

Γαλῆ τις εἰς χαλκωτικὸν εἰσεληλύθει ἐργαστήριον, κἀκεῖ δὲ ῥίνον εὑροῦσα σιδηροῦν, τοῦτον ἱκανῶς ἀνέλειχεν, ὥστε τὴν ἑαυτῆς ἀποτρίβεσθαι γλῶτταν καὶ σφοδρῶς ἐκδαπανᾶσθαι καὶ ῥοὴν αἵματος ἀφιέναι. ἡ δὲ γαλῆ μᾶλλον ἐτέρπετο, δοκοῦσα δῆθεν τὸν σίδηρον καταβιβρώσκειν, ἕως ἡ αὐτῆς γλῶττα παντελῶς ἐκδαπανᾶται.

Οὗτος ὁ λόγος δηλοῖ, ὅτι πράττων τις ἔργον ἀλυσιτελὲς, ὡς ἐπωφελὲς μᾶλλον, καὶ τοῦτο δυσαποσπάστως προσκείμενος, τοὐναντίον ὑπ' αὐτοῦ μεγάλως καταλυμαίνεται.

Θηρευτὴς καὶ λύκος.

ε.

Ἀνήρ τις θηρευτὴς λύκον θεασάμενος προσβάλλοντα τῇ ποίμνῃ καὶ πλεῖστα τῶν προβάτων ὡς δυνατὸν διασπαράττοντα, τοῦτον εὐμηχάνως θηρεύει καὶ τοὺς κύνας αὐτῷ ἐπαφίησι, φθεγξάμενος δὲ πρὸς αὐτὸν, ὦ δεινότατον θηρίον, ποῦ σου ἡ προλαβοῦσα ἰσχὺς, ὅτι τοῖς κυσὶν ὅλως ἀντιστῆναι οὐκ ἠδυνήθης.

Ὁ μῦθος δηλοῖ, ὡς τῶν ἀνθρώπων ἕκαστος ἐν τῇ ἰδίᾳ τέχνῃ καθέστηκε δόκιμος.

Δύο ἀλεκτρυόνες.[1]

ζ.

Δύο ἀλέκτορες ἀλλήλοις ἐμάχοντο, καὶ ὁ μὲν εἷς ἡττηθεὶς ~~τόπῳ τινὶ ἐν ἀπαραβύστῳ ἀπεκρύβη~~, ὁ δὲ ἕτερος τὴν νίκην ἀράμενος ἐφ' ὑψηλοῦ[1] τινὸς ἔστηκε δωματίου[2] τὰ μεγάλα φρυαττόμενος καὶ τῇ νίκῃ ἐγκαυχώμενος, ἕως ἀετὸς καταπτὰς τοῦτον ἐπελθὼν ἀνήρπασεν.

Ὁ μῦθος δηλοῖ, ὡς οὐ χρὴ τινὶ ἐπ' εὐτυχίᾳ καὶ δυνάμει μέγα φρονεῖν καὶ ἀφρόνως σοβαρεύεσθαι.

(ἐναπεκρύβη. τόπῳ τινὶ ἀπαραβύστῳ).

ὑψηλοῦ καὶ μετεώρου τινός. 1.

δωματίου. 2

περιστερὰ καὶ ὑδρία.

η.

Περιστερά τις σφοδρῶς ἐδίψα καὶ ἐφ' ὕδατος ζητεῖν τῇδε κἀκεῖ περιήρχετο. ἰδοῦσα δὲ ἐν τινι τοίχῳ ἐζωγραφημένην ὑδρίαν, ἐδόκει ἀληθῶς ὁρᾶν ὕδατος σκεῦος μεστόν. καὶ ἐλθοῦσα τοῦ πιεῖν τῷ τοίχῳ προσέκρουσε. καὶ αὐτίκα τοῦ ζῆν ἀπερρήγνυτο.[1] οἷα δὲ πρὸς τελευταίαν ἐγγίσας[1] ἀναπνοὴν ἔλεγεν ἐν ἑαυτῇ, ὅτι δυστυχὴς ὄντως ἐγὼ καὶ ἀθλία, ἐφ' ᾧ ὕδατος γλιχομένη μὴ θανάτου ἐμνημόνευον.

Οὗτος ὁ λόγος δηλοῖ, ὡς πολὺ κρείττων ἡ μακροθυμία τῆς ἀλογίστου σπουδῆς καὶ ταχύτητος.

ἀπορρήγνυται. 1.

ἐγγίσας. 1. Neutrum Genum.

κόραξ καὶ ποιμήν.

θ.

Κόραξ ἀετὸν ἐθεάσατο ἄρνα τῆς ποίμνης ἁρπάζοντα καὶ ἠθέλησε δῆθεν τοῦτον ἐκμιμήσασθαι. ἰδὼν δὲ ἐν τῇ ποίμνῃ κριὸν ἐπεπήδα τοῦτον

ἀρπάσαι. τῶν δὲ ὀνύχων αὐτοῦ τῷ τοῦ κριοῦ συμπλεχθέντων ἐρίῳ φθάσας ὁ ποιμὴν καὶ τοῦτον πλήξας ἀπέκτεινεν.

Οὗτος ὁ λόγος δηλοῖ, ὡς ἀνίσχυρος ἀνὴρ τῷ δυνατῷ ἑαυτὸν ἀφομοιοῦσθαι πειρώμενος, οὐ μόνον ἀσθενὴς εἶναι καὶ ἀφελὴς ἀπελέγχεται, ἀλλὰ καὶ κακῶς ἐξ ἀφροσύνης ἀποθνήσκει.

## Λαγωὸς καὶ ἀλώπηξ.

ι.

Λαγωός τις ἐδίψα καὶ ἐν φρέατι κατῆλθε τοῦ ὕδωρ πιεῖν, ἀφ' οὗ καὶ τινὸς καὶ πολὺ ἐπεπώκει. ὅτε δὲ ἐκεῖθεν ἀνελθεῖν ἔμελλεν, ἀμηχανίᾳ συνεσχέθη περὶ τὴν ἄνοδον καὶ τὰ μέγιστα ἠθύμει. ἀλώπηξ δὲ ἐλθοῦσα κἀκεῖσε τοῦτον εὑροῦσα ἔφη πρὸς αὐτόν, μεγάλως ὄντως ἐσφάλης. πρότερον γὰρ ὤφειλες βουλεύσασθαι, πῶς ἔσται σοι τοῦ φρέατος ἀνελθεῖν καὶ εἶθ' οὕτως ἐν αὐτῷ κατελθεῖν.

Οὗτος ὁ μῦθος ἐλέγχει τοὺς αὐτοβούλως πράττοντας, καὶ μὴ πρότερον συμβουλευομένους.

Ἴλεω καὶ τινὸς, est spatium vacuum in Z. Forte pro καὶ τινὸς, legendum ἀκκεῖνος.

Ὤφειλες. 1.

## Ταῦρος, λέαινα καὶ σύαγρος.

ια.

Ταῦρος εὑρηκὼς κοιμώμενον λέοντα, τοῦτον κερατίσας ἀπέκτεινεν. ἐπιστᾶσα δὲ ἡ ἐκείνου μήτηρ πικρῶς αὐτὸν ἀπεκλαίετο. ἰδὼν δὲ αὐτὴν σύαγρος ὀλοφυρομένην, μακρόθεν ἑστὼς ἔφη πρὸς αὐτήν, ὦ πόσοι ἄρα τυγχάνουσιν ἄνθρωποι θρηνοῦντες, ὧν τὰ τέκνα ὑμεῖς ἀπεκτείνατε.

Ὁ λόγος δηλοῖ, ὅτι ἐν ᾧ μέτρῳ μετρεῖ τις, μετρηθήσεται αὐτῷ.

Τὰ ἑαυτῶν τέκνα. 1.

## Ποιμὴν, πρόβατον καὶ λέων.

ιβ.

Ποιμήν τις ἀπολέσας ἓν τῶν προβάτων ἐδεήθη τῷ θεῷ, συνθήκας ποιούμενος, ὡς εἴγε τοῦτο εὕροι, ἕτερον ὑπὲρ αὐτοῦ εἰς θυσίαν προσάξει. περιερχόμενος δὲ ὁρᾷ τὸ αὐτοῦ πρόβατον ὑπὸ λέοντος βιβρωσκόμενον. καὶ τοῦτο ἰδὼν

Τὸ αὐτοῦ. ~~[illegible]~~

ἐν ἑαυτῷ ἔλεγεν, ὡς εἰ μόνον τὸν τοῦ θηρὸς δια-
δράσαιμι κίνδυνον καὶ ἕτερον πρόβατον εἰς λύ-
τρον δῶρον προσενέγκοιμι. — Ο εἰς λύτρον. ✱ε.

Οὗτος ὁ λόγος δηλοῖ, ὡς τὴν ἰδίαν ζωὴν ἄνθρωποι παντὸς κέρδους καὶ πλούτου προτιμοτέραν ἔχουσι.

Λέων καὶ δύο ταῦροι.

ιγ.

Λέων προσβαλὼν ταύροις δυσὶν, ἐπειρᾶτο τούτους καταθοινήσασθαι· οἱ δὲ τὰ ἑαυτῶν κέρατα ἐπ' αὐτῷ ἀντιπαρατάξαντες οὐκ εἴων τὸν λέοντα μέσον αὐτῶν παρελθεῖν. ὁρῶν τοίνυν ἐκεῖνος, ὡς ἀδυνάτως ἔχει πρὸς αὐτοὺς κατεσοφίσατο τοῦ ἑνὸς καὶ πρὸς αὐτὸν ἔφησεν, ὡς, εἴγε τὸν σὸν ἑταῖρον προδώσεις μοι, ἀβλαβῆ σε διατηρήσω. καὶ τούτῳ τῷ τρόπῳ ἀμφοτέρους τοὺς ταύρους ἀνῄρηκεν.

Ο καταθηρήσασθαι. τ.

Ο μέσον αὐτόν. τ.

Ο μῦθος δηλοῖ, ὡς ὅτι καὶ πόλεις καὶ ἄνθρωποι ἀλλήλοις ὁμονοοῦντες οὐ συγχωροῦσιν αὐτῶν τοὺς ἐχθροὺς περιγίνεσθαι. τῆς δ' ὁμονοίας περιφρονοῦντες εὐχερῶς ἄσθην τοῖς ἐναντίοις ἁλίσκονται.

Ο ὅτι omittit τ.

Ο καταφρονοῦντες τ.

Ἀλώπηξ καὶ πίθηξ.

ιδ.

Ἀλώπηξ καὶ πίθηξ ἐπὶ τὸ αὐτὸ ὁδοιποροῦν. παρερχόμενοι δὲ διά τινων μνημείων ἔφη ὁ πίθηξ τῇ ἀλώπεκι, ὡς πάντες οἱ νεκροὶ οὗτοι ἀπελεύθεροι τῶν ἐμῶν γεννητόρων ὑπάρχουσιν. ἡ δὲ ἀλώπηξ λέγει τῷ πίθηκι, εὐχερῶς ἐψεύσω. οὐδεὶς γὰρ τῶν ἐνταῦθα ταφέντων ἀπελέγξαι σε δύναται.

Ο εὐκαίρως. τ.

Οὗτος ὁ μῦθος παρίστησι τὸν τοὺς ψευδολόγους ὀρθῶς διελέγχοντα καὶ τοὺς προδήλως τὸ ψεῦδος ἀντὶ ἀληθείας προσφέροντας.

Ἔλαφος καὶ θηρευταί.

ιε.

Ἔλαφός τις διψῶσα κατῆλθεν ἐπί τινα πηγὴν τοῦ ὕδωρ πιεῖν. ἰδοῦσα δὲ ἐν τῷ ὕδατι τὸ τοῦ ἰδίου σώματος ὁμοίωμα. τῇ μὲν τῶν ποδῶν λεπτότητι ἀπηρέσκετο· τῇ δὲ τῶν κεράτων μορφῇ

)ἐφίσανται. 1. et 2.
)Τῇ δὲ καθόσον. 1.
)ὑπερεγίνετο. 1.

ἐπεμέμφετο. ἄφνω δέ τινες ἐφίστανται θηρευταὶ καὶ ταύτην ἐδίωκον. καὶ καθόσον μὲν ἐπὶ τῆς πεδιάδος ἔτρεχε, τῶν διωκόντων ὑπερεγίνετο, φθάσασα δὲ εἰς ἕλος ἀπροσδοκήτως εἰσελθεῖν, τῶν αὐτῆς κεράτων τοῖς κλάδοις συμπλακέντων ὑπὸ τῶν διωκόντων καταλαμβάνεται καὶ στενάξας ἔφη· οἴμοι τῇ ταλαιπώρῳ, ὅτι ἐφ' οἷς ἀπηρεσκόμην, ὑπ' αὐτῶν μᾶλλον διεσωζόμην, οἷς δὲ ἐκαυχώμην, ὑπ' αὐτῶν δὴ καὶ ἀπόλλυμαι.

)Οὗτος ὁ μῦθος. 1.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς οὐ χρή τινα τῶν ἐν ἑαυτῷ τι ἐπαινεῖν, εἰ μὴ τὰ εὔχρηστα καὶ ἐπωφελῆ.

## Κύων καὶ χαλκεῖς.

15.

)δέ, omittit. 1.
)τοῖς αὐτοῦ. 1.
)σφυρῶν 1.
)βραχυτάτῳ abest. 1.

Ἦν τις κύων χαλκέων τινῶν ἐν οἰκίᾳ διάγων, κἀκείνων μὲν ἐργαζομένων οὗτος εἰς ὕπνον ἐτρέπετο. εἰς ἐσθίειν δὲ καθεζομένων, ἐγίνετο ἔξυπνος, καὶ τοῖς ἑαυτοῦ κυρίοις χαριέντως προσεπέλαζεν. οἱ δὲ πρὸς αὐτὸν ἔλεγον, πῶς τῷ μὲν ψόφῳ τῶν βαρυτάτων σφυρῶν οὐδόλως ἐξυπνίζῃ, τῷ δὲ βραχυτάτῳ κρότῳ τῶν μυλοδόντων ταχέως διεγείρῃ;

)ἀνήκοοι. 1.

Ὁ μῦθος δηλοῖ, ὡς καὶ ἄνθρωποι ἀνήκοοι, ἐφ' οἷς οὐδὲν ὠφελεῖσθαι προσδοκῶσι, ταχέως καὶ ὑπακούουσιν, ἐν οἷς δ' ἀπαρέσκονται, ἀκηδεῖς πάντη καθίστανται καὶ ὀκνηροί τε καὶ ῥᾴθυμοι.

## Ἀλώπηξ καὶ λέων.

16.

Ἀλώπηξ θεασαμένη ἐγκάθειρκτον λέοντα καὶ τούτου στᾶσα ἐγγὺς δεινῶς αὐτὸν ὕβριζεν. ὁ δὲ λέων ἔφη πρὸς αὐτήν, οὐ σύ με καθυβρίζεις, ἀλλ' ἡ προσπεσοῦσά μοι ἀτυχία.

)οὗτος abest. 1.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς πολλοὶ τῶν ἐνδόξων δυσπραγίαις περιπίπτοντες ὑπ' εὐτελῶν ἐξουθενοῦνται.

http://digital.slub-dresden.de/ppn346852420/10

ιη.

Ὄφις τις ἔρπων παρὰ πολλῶν συνεπατεῖτο. προσερχόμενος δὲ εἰς τὸ τοῦ Ἀπόλλωνος εἰδωλεῖον εἰσελήλυθεν. ὁ δὲ Ἀπόλλων αὐτὸς ἔφη πρὸς αὐτόν, εἰ ἔπληξας γε τὸν πρῶτόν σε συμπατήσαντα, οὐδεὶς ἂν τῶν ἑτέρων κατετόλμησέ σου.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ προλαβόντως ἐφαλῶντες, εἴπερ αὐτοὺς σωφρονίζοιντο, οἱ ἕτεροι δὲ ἐκείνων κατάφοβοι γίνονται.

ιθ.

Λέοντος δορὰν κύνες εὑρόντες διεσπάραττον ταύτην. τούτοις δὲ ἀλώπηξ ἰδοῦσα ἔφη, εἰ οὗτος ὁ λέων τοῖς ζῶσι συνῆν, εἴδετε ἂν τοὺς αὐτοῦ ὄνυχας ἰσχυροτέρους τῶν ὑμετέρων ὀδόντων.

Ὁ μῦθος δηλοῖ πρὸς τοὺς τῶν ἐνδόξων καταφρονοῦντας, ὅταν τῆς δόξης ἐκπέσωσιν.

κ.

Ἔλαφος νόσῳ περισχεθεῖσα ἐπί τινος τόπου πεδινοῦ κατακέκλιτο. τινὰ δὲ τῶν θηρίων εἰς θέαν αὐτῆς ἐλθόντα τὴν παρακειμένην τῇ ἐλάφῳ νομὴν κατεβοσκήθησαν. εἶτα ἐκείνη τῆς νόσου ἀπαλλαγεῖσα τῇ ἐνδείᾳ δεινῶς κατατρύχετο καὶ τῆς νομῆς τὸ ζῆν προσαπώλεσεν.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ περιττοὺς καὶ ἀνοήτους κτώμενοι φίλους, ἀντὶ κέρδους ὑπ' αὐτῶν ζημίαν μᾶλλον ὑφίστανται.

κα.

Ἀνὴρ θηρευτὴς παρερχόμενον κύνα ἰδών, συνεχῶς αὐτῷ ψωμοὺς προσεπέρριπτε. λέγει οὖν πρὸς τὸν ἄνδρα ὁ κύων, ἄνθρωπε, ἄπιθι ἐξ ἐμοῦ. ἡ γὰρ πολλή σου εὔνοια μᾶλλόν με τὰ μέγιστα θροεῖ.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ πολλὰ δῶρα τοῖς παρεχόμενοι, δῆλοί εἰσι τὴν ἀλήθειαν ἀνατρέποντες.

Ὄφις πατούμενος. 4

Κύνες καὶ ἀλώπηξ.

J ~~ἰδοῦσα~~ 1. ἴδετε. 2.

J ἰσχυροτέρους. 2.

J πρὸς abest. 1. quod probo.

Ἔλαφος νοσοῦσα.

J κτώμεθα. 1.

Θηρευτὴς καὶ κύων.

J αὐτῷ, post σου, addit. 1.

J μετά, pro με τά. 1. et 2.

http://digital.slub-dresden.de/ppn346852420/11

Λαγωοὶ καὶ ἀλώπεκες.

κβ.

Λαγωοί ποτε πρὸς ἀετὸν πόλεμον συγκροτοῦντες τὰς ἀλώπεκας εἰς συμμαχίαν προσεκαλοῦντο. αἱ δὲ πρὸς αὐτοὺς εἶπον, ἑτοίμως ἂν εἴχομεν συμμαχεῖν ὑμῖν, εἰ μὴ ᾔδειμεν τίνες ἐστὲ καὶ τίνι διαμάχεσθε.

Ὁ μῦθος οὗτος ἐλέγχει τοὺς τοῖς ἰσχυροτέροις προσκρούοντας καὶ ἑαυτοῖς ἐξ αὐτῶν κίνδυνον ἐπάγοντας.

οἴδαμεν. t.
ἴτε omittit. t.
ἰσχυροτέροις. t.
καὶ αὐτοῖς. t.

Παῖς καὶ ἀνήρ.

κγ.

Παῖς τις εἰσελθὼν ἐπί τινα ποταμὸν ἀπολούσασθαι, καὶ μὴ εἰδὼς νήχεσθαι, ἐκινδύνευεν ἀποπνιγῆναι, καί τινα παρερχόμενον ἄνδρα ἰδὼν, εἰς βοήθειαν τοῦτον ἐκάλει. ὁ δὲ ἄνθρωπος τοῦτον διασώζων ἐκεῖθεν, ἔλεγεν αὐτῷ, ἵνα τί μὴ νήχεσθαι εἰδὼς, τῆς τοσαύτης κατετόλμηκας πλημμύρας; ὁ δὲ παῖς αὐτῷ ἔφη, τέως νῦν βοήθει μοι, καὶ μετὰ ταῦτα ὀνείδιζον.

Ὁ μῦθος δηλοῖ, ὡς ὁ ἐν περιστάσει τινὰ προσονειδίζων, ἀκαίρως αὐτοῦ καὶ ἀπρεπῶς καταμέμφεται.

εἰσελθών. t.
~~[illegible]~~
τοῦτον abest. t.
ἐκεῖθεν διασώζων. t.
κατετόλμησας. t.
αὐτῷ abest. t.
ὁ λόγος, pro μῦθος. t.
τινί. z.

Ἀετὸς καὶ ἀλώπηξ.

κδ.

Ἀετός τις τῇ ἀλώπεκι φιλιωθεὶς τοὺς αὐτῆς μετὰ ταῦτα καταβέβρωκε σκύμνους. ἡ δὲ πρὸς αὐτὸν μὴ δυναμένη, τῆς θείας δίκης ἐδέετο κατ᾽ αὐτοῦ. μιᾷ γοῦν συνέβηκε θυσίαν τινὰ ἐπὶ βωμοῦ κατακαίεσθαι. ὁ δὲ ἀετὸς καταπτὰς βρῶμα ἐκεῖθεν ζέον ἐξήρπασε, καὶ τοῖς ἑαυτοῦ νεοσσοῖς διαδέδωκεν. οἱ δὲ νεοσσοὶ ἐσθίοντες ὑπὸ τῆς ζέσεως εὐθὺς διεφθάρησαν.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ τῶν ἀνθρώπων δυνάσται καὶ ἄδικοι, εἰ καὶ παρὰ τῶν ἀδικουμένων μηδὲν πάσχουσιν, ἀλλά γε ταῖς ἐκείνων ἀραῖς θείαν ἀγανάκτησιν ἐπισπῶνται.

ἤπειρα intellige.

τοῖς αὐτοῦ. t.

http://digital.slub-dresden.de/ppn346852420/12

### Ἔχις καὶ ἀνήρ.

κε.

Ὥρα χειμῶνος ἔχις τὴν πλησίον ὁδοῦ κατέκειτο καὶ τῇ τοῦ ψύχους σφοδρότητι ἐκινδύνευε διαφθαρῆναι. ἀνὴρ δέ τις παρερχόμενος καὶ ταύτην ἰδὼν κατῴκτειρε, καὶ ἄρας τῆς γῆς, τῷ ἰδίῳ κόλπῳ ἐνεθάλπετο. ἡ δὲ ἔχις διαθερμανθεῖσα, εὐθὺς καιρίῳ δήγματι τὸν ἄνδρα ἀπέκτεινεν.

Ὁ μῦθος δηλοῖ, ὡς ὁ φύσει κακός, κἂν ἀγαθόν τι παρὰ τινος οὖν ἐπισπάσαιτο, τῷ εὐεργέτῃ μᾶλλον κακὰ ἀποδίδωσιν.

### Ἰξευτὴς καὶ πέρδιξ.

κϛ.

Ἀνήρ τις ἰξευτὴς κατέσχε τινὰ πέρδικα, καὶ εὐθὺς αὐτὴν κατασφάξαι ἠθέλησεν. ἡ δὲ πέρδιξ τῆς ἰδίας ζωῆς ἀντεχόμενος, πρὸς τὸν ἰξευτὴν συνεύχετο, ὡς εἴ με τῶν δεσμῶν ἐλευθερώσεις, πολλοὺς πέρδικας ἐκμειλιξάμενος προσαγάγω σοι. ὁ δὲ ἰξευτὴς τῷ ταύτης λόγῳ μᾶλλον μανεὶς, ταύτην αὐτίκα ἀνῄρηκεν.

Ὁ μῦθος δηλοῖ, ὡς ὁ ἑτέρῳ παγίδα ἱστῶν, αὐτὸς ἐν αὐτῇ ὡς κακὸς ἐμπεσεῖται.

ἰ αὐτήν. z.

ἰ συνε[illegible]ετο. Z

ἰ ἐλευθερώσῃς. 1.

ἰ ταύτης, abest. t.

ἰ ταύτην. Z.

### Ἀνὴρ καὶ ὄρνις.

κζ.

Ἀνήρ τις ὄρνιν ἐκέκτητο χρυσοῦν ὠὸν καθεκάστην αὐτῷ τίκτουσαν. ὁ δὲ μὴ τῷ καθημερινῷ ἐκείνῳ ἐπαρκούμενος κέρδει, ἀλλ' ἀφθόνως τοῦ πλείονος ὀρεγόμενος, τὴν ὄρνιν κατέθυσεν. ἐδόκει γὰρ ἐν τοῖς ἐγκάτοις αὐτῆς θησαυρῷ τινι ἐντυχεῖν. καὶ μηδὲν ὅλως ἐφευρὼν, καθ' ἑαυτὸν ἔλεξεν, ὡς ἐλπίσι θησαυροῦ ἐπερειδόμενος, καὶ τοῦ ἐν χερσὶ κέρδους ἐξέπεσον.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ πολλοὶ τῶν πλειόνων ὀρεγόμενοι καὶ τῶν ὀλίγων ἐκπίπτουσιν.

### Κύων καὶ βρῶμα.

κη.

Κύων ἁρπάσας βρῶμα ἐκ μακελλίου, ᾤχετο φυγὰς ἐκεῖθεν καὶ ἔφθασεν ἐπί τινα ποταμόν, περαιούμενος δὲ αὐτόν, ὁρᾷ ἐν τοῖς ὕδασι τὴν τοῦ βρώματος σκιάν, πολλῷ οὖσαν, ὡς ἔφασαν, εὐμεγεθέστερον, καὶ τοῦ στόματος τὸ βρῶμα

ἀποῤῥίψας, ἐπὶ τὴν ὁρμηθεῖσαν αὐτοῦ σκιὰν κατηπείγετο. τῆς δὲ ἀφανοῦς γενομένης, στραφεὶς ὁ κύων τὸ ἀποῤῥιφθὲν ἆραι, οὐδὲν ἐφεῦρε τὸ σύνολον. καὶ γὰρ ἐκεῖνο παρά τινος καταπτάντος κόρακος εὐθὺς ἡρπάγη καὶ κατεβρώθη. εἶτα ὁ κύων ἑαυτὸν ἐταλάνιζε, τί ἄρα πέπονθας λέγων, ὅτι ὃ εἶχον, ἀφρόνως καταλιπών, ἐφ' ἕτερον ἀφανὲς ἠπειγόμην, κᾀκείνου ἀποτυχὼν καὶ τοῦ προτέρου ἐξέπεσον.

Ὁ μῦθος οὗτος ἐλέγχει τοὺς ἀκορέστως ἔχοντας, καὶ τῶν περιττῶν ὀρεγομένους.

Ὄνος καὶ ἵππος.

} καὶ omittit. 1.
} ἐπλήρου. 1.
} παραπολαβών. 1. παραπολάβων. 2.
} Inclusa absunt. t.
} ἀχθηφορῶν. t.

κθ.

Ὄνος καὶ ἵππος ὑπῆρχον ἀνθρώπῳ τινί, καὶ ἕκαστος αὐτῶν ἰδίαν ὑπηρεσίαν ἐπλήρου. ἀλλ' ὁ μὲν ἵππος ἀνέσεως πολλῆς παραπολαύων δαψιλῶς ἐτρέφετο, χαίτην τε καὶ πλοκάμους ὑπὸ τῶν ἱπποκόμων ἐκαλλωπίζετο, (καὶ σμήχεσθαι τοῖς ὕδασιν ἀπελούετο.) ὁ δὲ ὄνος διόλου ἀχθοφορῶν, τῷ τῶν γόμων βάρει κατετρύχετο. μιᾷ γοῦν ὁ τοῦ ἵππου κύριος ἐπιβὰς αὐτοῦ ἐπί τινα πόλεμον ἄπεισι καὶ τῆς μάχης συγκροτηθείσης, ὁ ἵππος εὐθὺς ἐπλήγη καὶ ἀνῃρέθη. ἰδὼν δὲ τὴν αὐτοῦ ἀπώλειαν ὁ ὄνος, ἑαυτὸν μᾶλλον τῆς πολυπόνου ἐμακάριζεν ὑπηρεσίας.

Ὁ μῦθος δηλοῖ, ὡς ὁ πενιχρὸς βίος, ἀνεπίφθονος τυγχάνων, πολλῷ τοῦ πλούτου ὡς κινδυνώδους προτιμότερος.

Ὄναγρος καὶ ὄνος.

} ζῶ et mox διάγων habet. t.
} σὺ δ' ὑπ' ἄλλῳ. 1.
} συχνῶς abest. t.
} λύθωρον. 2. αὔθορον. t.

λ.

Ὄναγρος ὄνον ἰδὼν βαρὺν γόμον ἐπαγόμενον καὶ τὴν δειλίαν αὐτῷ ἐπονειδίζων ἔλεγεν, εὐτυχὴς ὄντως ἐγώ, ὅτι ζῶ ἐλευθέρως καὶ διάγω ἀκόπως, αὐτοσχέδιον καὶ τὴν νομὴν ἐν τοῖς ὄρεσι κέκτημαι. σὺ δὲ ὑπ' ἄλλῳ τρέφῃ καὶ δειλίαις καὶ πληγαῖς καθυποβάλλῃ συχνῶς. συνέβη γοῦν λύθωρον

λέοντά τινα φανῆναι, καὶ τῷ μὲν ὄνῳ μὴ προσπελάσαι, ὡς συνόντος αὐτῷ τοῦ ὀνηλάτου. τῷ δὲ ὀνάγρῳ μεμονωμένῳ τυγχάνοντι σφοδρῶς ἐπελθὼν καὶ αὐτὸν θέσθαι κατάβρωμα. — αὐτοῦ. 2. αὐτῷ. 1.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ ἀνυπότακτοι καὶ σκληροτράχηλοι, τῇ αὐτοβουλίᾳ φερόμενοι καὶ βοηθείας τινὸς μὴ δεόμενοι, αὐθωρὸν ἁλώσιμα γίνονται. — αὐτοβουλίᾳ. 2. αὐθωρὸν. 2. γίγνονται. 1.

**Συκῆ καὶ ἐλαία.**

λα.

Συκῆ τις ὥρᾳ χειμῶνος τὰ ἑαυτῆς ἀποβάλλουσα φύλλα, ὑπό τινος ἐλαίας πλησιαζούσης τὴν γύμνωσιν ὠνειδίζετο λεγούσης, ὡς ἐγὼ καὶ χειμῶνος καὶ θέρους τοῖς φύλλοις μου κεκαλλώπισμαι καὶ ἀείφυλλος πέφυκα. σὺ δὲ μόνῳ τῷ θέρει πρὸς καιρὸν ἔχεις τὸ κάλλος. ἔτι δὲ αὐτῆς καυχωμένης κεραυνὸς ἄφνω ἄνωθεν κατενεχθεὶς καὶ ταύτην κατέφλεξε. τῆς δὲ συκῆς τὸ παράπαν οὐ καθήψατο.

Οὕτως οἱ τῷ πλούτῳ καὶ τῇ τύχῃ ἐγκαυχώμενοι ἐξαίσιον τὸ πτῶμα ὑφίστανται.

**Ἀνήρ τις καὶ κηπουρός.**

λβ.

Ἀνήρ τις κηπουρόν τινα θεασάμενος τῶν λαχάνων ἀρδείαν ποιούμενον, ἔφη πρὸς αὐτόν, πῶς τὰ μὲν ἄγρια φυτὰ μήτε φυτευόμενα, μήτε ἐργαζόμενα ὡραῖα πεφύκασι, τὰ δὲ τῆς ὑμῶν φυτοκομίας πολλάκις ξηραίνεται; ὁ δὲ κηπουρὸς ἀντέφησεν, ὡς τὰ ἄγρια τῶν φυτῶν μόνῃ τῇ θείᾳ προνοίᾳ ἐφορᾶται, τὰ δὲ ἡμέτερα ὑπὸ χειρὸς ἀνθρωπίνης ἐπιμελεῖται.

Ὁ λόγος δηλοῖ, ὡς κρείττων ἡ τῶν μητέρων ἀνατροφὴ πέφυκε τῆς τῶν μητρυιῶν ἐπιμελείας.

**Κύων καὶ μακελλεύς.**

λγ.

Κύων ἐν μακελλείῳ εἰσελθών, καρδίας βρῶμα ἐκεῖθεν ἀφήρπασεν. ὁ δέ γε μακελλεὺς ἐπιστραφεὶς ἔλεγεν αὐτῷ, ὃ καρδίαν ἥρπασας

http://digital.slub-dresden.de/ppn346852420/15

ἀλλὰ καρδίαν ἐνέθου μοι. εἰ γὰρ αὖθις ἐνταῦθα εἰσέλθῃς, ἐγώ σοι τὰ τῆς ἁρπαγῆς ὑποδείξω ἐπίχειρα.

Ὁ μῦθος δηλοῖ, ὡς ἐν τῷ παθεῖν τὶς ἐπίσταται τὸ μαθεῖν καὶ προσεκτικῶς ἔχειν.

*Κύων καὶ κηπουρός.*

λδ.

Κύων κηπουροῦ τινὸς εἰς φρέαρ ἐμπεπτώκει. ὁ δὲ κηπουρὸς κατελθὼν αὐτὸν ἐκεῖθεν ἀνελκύσαι, δεινῶς ὑπ᾽ αὐτοῦ ἐδήχθη, δόξαν αὐτῷ, μᾶλλον τὸν ἄνδρα βούλεσθαι αὐτὸν ἐπὶ πλέον καταβυθίσαι τῷ ὕδατι. ὁ δὲ κηπουρὸς ὑπὸ τοῦ κυνὸς δηχθείς, δικαίως, ἔφη, πέπονθα, ὅτι σε τοῦ φρέατος ἐκβαλεῖν ἐσπουδακώς, χαλεπῶς μᾶλλον ὑπὸ σοῦ τετραυμάτισμαι.

Ὁ μῦθος οὗτος τοὺς ἀχαρίστους καὶ ἀγνώμονας ἐλέγχει.

ὁ τοῖς, pro αὐτῷ. t.

τῷ ὕδατι legitur ante καταβ. t.

*Γαστὴρ καὶ πόδες.*

λε.

Ἀνδρός τινος ἡ γαστὴρ τοῖς ἑαυτοῦ ποσὶ περὶ ἰσχύος διεφέρετο. οἱ μέντοι πόδες ἔλεγον τῇ γαστρί, ὡς ἡμεῖς σοῦ ἐσμὲν ἰσχυρότεροι, ἅτε δὴ καὶ διαβαστάζοντές σε. ἡ δὲ γαστὴρ τοῖς ποσὶν ἀντέφησεν, ὡς εἰ μὴ ἐγὼ τὰς βρώσεις ἐδεχόμην, ὑμεῖς ἀδυνάτως ὅλως στῆναι εἴχετε ἄν.

Ὁ μῦθος δηλοῖ, ὡς καὶ πᾶν στράτευμα πρὸς τὴν μάχην ἀδόκιμον γίνεται, εἰ μὴ πρότερον ὑπὸ τοῦ στρατηλάτου γυμνάζοιτο καὶ παραθαρρύνοιτο.

ὁ ἰσχυρότεροι.

ὁ ὑμεῖς ἂν ἀδυνάτως τε ὅλως στῆναι εἴχεται. sic. t.

*Νυκτερίς, κέπφος καὶ βάτος.*

λς.

Νυκτερίς, κέπφος καὶ βάτος πρὸς ἀλλήλους κοινωνίαν ἔθεντο, τῷ ἐπί τινα ἔνθεν ἐμπορείαν ἐπελθεῖν. καὶ ἡ μὲν χρυσόν, ὁ δὲ χαλκόν, ἡ δὲ ὑφάσματα δανειακῶς ἐξελάβοντο, καὶ ἐν πλοίῳ ἀποθέμενοι τοῦ πλοὸς εὐθὺς εἴχοντο. ἄφνω δὲ ζάλη καὶ καταιγὶς διαταράξασα ὡς κλύδωνα μέγιστον τὸ πέλαγος ἦγε, καὶ τὸ σκάφος

ὁ δανειακῶς. t.

ὁ ἄφνω. sic. t.

http://digital.slub-dresden.de/ppn346852420/16

διασπαράξαι, τὰ ἐν αὐτῷ πάντα τῷ βυθῷ παραδί-
δωσιν. ἐξ ἐκείνου δὲ ἡ μὲν νυκτερὶς τοὺς δανει-
στὰς φοβουμένη καὶ δεδοικυῖα καὶ ἑαυτὴν ὑποστέλ-
λουσα μόνῃ τῇ νυκτὶ ἐξέρχεται. τὸ δὲ κέπφος (?)
ἐπὶ τῆς θαλάσσης τὰς διατριβὰς ἔχει τὸν χαλ-
κὸν ἀναζητοῦν· ἡ δὲ βάτος τοῖς ἱματισμοῖς
τῶν παραπορευομένων συμπλεκομένη τὰ
ὑφάσματα αὐτῶν διόλου σπαράττουσα.

Ὁ μῦθος δηλοῖ, ὡς τῶν ἀνθρώπων ἕκαστον
χρὴ μετὰ τὴν ἔκβασιν τῶν ἐπικινδύνων πρά-
ξεων προσεκτικῶς ἐξ αὐτῶν ἔχειν, ὥστε μὴ αὖ-
θις τοῖς ἐκ τούτων ὁμοίοις κακοῖς περιπαθῆ
γίνεσθαι.

Ͻ διασπαράττει. l. καὶ τὰ ἐν.

Ͻ [illegible] absunt. l.

Ͻ συμπλέκεται l. quod probo.

## Λέων νοσῶν καὶ θηρία.

λζ.

Λέων γηράσας τις καὶ ἀσθενήσας καὶ ἑαυτοῦ τὴν
μὴ δυνάμενος διατρέφειν, ἐπεχείρει (?) μηχανικῶς δια-
ζῆν. νοσεῖν οὖν προσποιησάμενος κατέκλινεν ἑαυ-
τὸν ἔν τινι σπηλαίῳ. εἶτα τῶν ἄλλων θηρίων εἰς
ἐπίσκεψιν αὐτοῦ παραγινομένων, εὐθὺς ἕκαστον
αὐτῶν ἁρπάζων κατήσθιε. γνοῦσα δὲ ἡ ἀλώπηξ
τὴν αὐτοῦ πανουργίαν, οὐκ ἤθελε πρὸς αὐτὸν ἀν-
ελθεῖν, ἀλλὰ μακρόθεν ἑστῶσα ἐπηρώτα τὸν λέ-
οντα, ὅπως ἤδη τὰ κατ' αὐτὸν ἔχει. ὁ δὲ πρὸς
αὐτὴν ἔλεγε, τίνος χάριν οὐκ εἰσέρχῃ πρὸς μέ;
ἡ δὲ ἀλώπηξ ἀντέφησεν, ὡς πολλῶν ἴχνη ἐν-
ταῦθα ἑώρακα εἰσελθόντων μὲν, μὴ ἐξελθόν-
των δέ.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς καὶ τοὺς ἀνθρώ-
πους ἀφορᾶσθαι δεῖ τὰ τῶν πραγμάτων ἐπικίνδυ-
να, καὶ ἐξ αὐτῶν ἀποδιδράσκειν, ἀσφαλίζεσθαι
δὲ καὶ ἀπὸ τῶν δόλῳ καὶ ὑποκρίσει φιλίας
πειρωμένων ἑταίρους λυμαίνεσθαι.

Ͻ διατρέφειν μὴ δυνάμενος. l.

Ͻ γνοῦν. l. quod displicet.
Ͻ αὐτόν. l.

Ͻ ἔχει ἐν. l.

## Κύων καὶ λύκαινα.

λη.

Κύων καταδιώκων λύκαιναν ἐθρασύνετο τῇ τε τῶν πο-
δῶν ταχύτητι καὶ τῇ ἰδίᾳ ἰσχύϊ, καὶ ἐδόκει φεύγειν
τὸν λύκον δι' οἰκείαν αὐτοῦ ἀσθένειαν. στραφεὶς οὖν
ὁ λύκος ἔφησε πρὸς τὸν κύνα, οὐ σὲ δέδοικα, ἀλλὰ

τὴν τοῦ σοῦ σεβαστοῦ καταφρονεῖν.

Ὁ μῦθος ἔτος δηλοῖ, ὅτι οὐ δεῖ τινὰ ἐγκαυχᾶσθαι τῇ τῶν ἑτέρων γενναιότητι.

## Νεανίσκος καὶ σκορπαῖος.

λθ.

Νεανίσκος τὶς ἐν τοῖς ἐξωτάτοις καὶ ἐρημικωτάτοις τόποις ἀκρίδας ἠπείγετο κατασχεῖν, καὶ ἰδὼν μέσον αὐτῶν σκορπαῖον, ἐδόκει κἀκεῖνον ἀκρίδα ὄντως τυγχάνειν, καὶ τὴν χεῖρα ἐκτείνας, ἐξᾶραι αὐτὸν τῆς γῆς ἔμελλεν. ὁ δὲ σκορπαῖος τὸ αὐτοῦ κέντρον πρὸς τὸ νύξαι τὸν νέον ἰθύνας, ἔφη πρὸς αὐτὸν, ὡς εἰ ὅλως τετόλμηκας με καθάψασθαι, παρεσκεύασα ἄν σε ἀπολέσαι καὶ ἃς κατέσχες ἀκρίδας.

Ὁ μῦθος δηλοῖ, ὡς οὐ χρὴ καὶ τοῖς σκαιοῖς ἀνθρώποις ἑκάστοτε ἐντυγχάνειν, ἀλλ' ἑκάστῳ πρὸς τὴν ἰδίαν γνώμην δεόντως προσομιλεῖν.

Ͻ ἐρημικοῖς. 1.

Ͻ καθάψασθαι. t.
Ͻ καὶ omittit. t.

Ͻ post ἀνθρώποις, addit 1. καὶ τοῖς ἀγαθοῖς.

## Ταῦρος, λέων καὶ αἶγες ἄγριαι.

μ.

Ταῦρος λέοντά τινα ἀποδιδράσκων ἔν τινι σπηλαίῳ τὴν καταφυγὴν ἔθετο. ἐν αὐτῷ δὲ ἔτυχεν ἀγρίας αἶγας τυγχάνειν, αἳ δὴ καὶ τὸν ταῦρον εὐθὺς ἐκεράτιζον. ὁ δὲ ταῦρος πρὸς αὐτὰς ἔλεγεν, ὡς οὐχ ὑμᾶς δέδοικα, ἀλλὰ τὸν τοῦ σπηλαίου ἔξωθεν ἑστηκότα.

Ὁ μῦθος δηλοῖ, ὡς τοῖς ἐν δυσπραγίαις δυναστῶν περιπίπτουσι πάντες οἱ ἐντυγχάνοντες μικρῶς ἐπιβαίνουσι.

Ͻ ἑστηκότα ἔξωθεν τοῦ σπηλαίου. 1.

Ͻ ὑπὸ δυναστῶν. 1. Forte ὡς τοῖς δυσπραγίαις ὑπὸ δυναστῶν.

Ͻ ἐπεμβαίνουσιν. 1. Forte ἐπεμβαίνουσιν, quod placet.

Ͻ ἔν τινι ποταμῷ. t.

Ͻ λευκὸν γεννηθεὶς (hic γεννηθῆναι debebat esse.) τὸ σῶμά ὅς. 1.

Ͻ ὡς οἱ τῶν πλειόνων τῶν φυσικῶν πραγμάτων. 1.

## Ἀνήρ τις καὶ Αἰθίοψ λουόμενος.

Ἀνήρ τις ἑωρακὼς Αἰθίοπά τινα ἔνδον λουόμενον ἐν ποταμῷ, ἔφη πρὸς αὐτὸν, μὴ σὺν ταραχῇ σοι καὶ θολοποιῇς τὸ ὕδωρ, οὐδέποτε γὰρ λευκὸς γενήσῃ τῷ σώματι.

Ὁ μῦθος δηλοῖ, ὡς οὐδὲν τῶν φυσικῶν πραγμάτων τῆς φυσικῆς ἰδιότητος μεταβάλλεται.

http://digital.slub-dresden.de/ppn346852420/18

σβ.

## Γυνὴ καὶ ὄρνις.

Γυνή τις χήρα ὄρνιν ἐκέκτητο ἓν αὐτῇ ὠὸν καθεκάστην ἀποτίκτουσαν, ἣν καὶ δαψιλῶς διέτρεφεν ἡ γυνὴ δοκοῦσα, ὡς τοῖς πλείοσι σιτίοις δὶς ἔσται γεννῶσα ὠά. ἡ δὲ ὄρνις ὑπὸ τῆς πλησμονῆς ἐμβριθὴς γενομένη, οὐδὲ τὸ ἓν ὠὸν γεννᾶν, ὡς τὸ πρότερον, ἠδύνατο.

Ὁ λόγος δηλοῖ, ὡς οἱ τῶν πλειόνων ὀρεγόμενοι καὶ τῶν ἐν χερσὶν ὀλίγων στερίσκονται.

σγ.

## Μύρμηξ καὶ τέττιξ.

Μύρμηξ τῇ ὥρᾳ χειμῶνος, ὃν θέρους συνήγαγε σῖτον, καθ' ἑαυτὸν ἤσθιεν. ὁ δὲ τέττιξ προσελθὼν αὐτῷ ᾐτεῖτο μεταδοθῆναι αὐτῷ ἐκ τῶν αὐτοῦ σιτίων. ὁ δὲ μύρμηξ ἔφη πρὸς αὐτόν, καὶ τί ἄρα διετέλεις ἐφ' ὅλῳ τῷ τοῦ θέρους καιρῷ, ὅτι μὴ συνέλεξας σεαυτῷ διατροφήν; ὁ δὲ τέττιξ πρὸς αὐτὸν ἀντέφησεν, ὡς αὐτὸ τὸ μελῳδεῖν ἀπασχολούμενος τῆς συλλογῆς ἐκωλυόμην. τῇ γοῦν τοιαύτῃ τοῦ τέττιγος ἀποκρίσει ὁ μύρμηξ ἐπιγελάσας, τὸν ἑαυτοῦ σῖτον τοῖς ἐνδοτέροις τῆς γῆς μυχοῖς ἐναπέκρυψε καὶ πρὸς αὐτὸν ἀπεφθέγξατο, ὡς ἐπεὶ τότε ματαίως ἐκελώδεις, νῦν λοιπὸν ὀρχήσασθαι θέλησον.

Ὁ μῦθος οὗτος παρίστησι τοὺς ὀκνηροὺς καὶ ἀμελεῖς καὶ τοὺς ἐν ματαιοπραγίαις διάγοντας καὶ ἐντεῦθεν ὑστερουμένους.

Ↄ πράττων recte interponit. r.

Ↄ αὐτὸ omittit. r.

Ↄ γηρὸ sic r. forte νυνί.

σδ.

## Αἲξ καὶ λύκος.

Αἰγός τινος ἐπὶ πέτρας ὑψηλῆς νεμομένης, λύκος ἐπιστὰς κάτωθεν, ἐπειρᾶτο αὐτὴν κατασχεῖν καὶ βεβρωκέναι. μὴ δυνάμενος δὲ ὅλως ἐπαναβῆναι τῇ πέτρᾳ, ἑστὼς κάτωθεν, πρὸς τὴν αἶγα ἔφησεν, ὦ ταλαίπωρε, ἵνα τί καταλιποῦσα τοὺς πεδινοὺς τόπους καὶ τοὺς λειμῶνας, ἐπὶ τῆς πέτρας ταύτης τὴν νομὴν πεποίησαι; ἢ πάντως, ἵνα ἐντεῦθεν κινδυνεύσῃς διαφθαρῆναι; ἡ δὲ πρὸς τὸν λύκον ἀπεκρίνατο, οἶδα, ὡς πολλάκις ἐμοῦ ἕνεκεν ἀργὸς

Ↄ ἵνα abest. r.

http://digital.slub-dresden.de/ppn346852420/19

διατέλεσας, καὶ δοκεῖς κατενεγκεῖν με τῆς πέτρας καὶ σεαυτῷ θέσθαι κατάβρωμα.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς πολλοὶ τῶν ἀνθρώπων βλάβην ἑτέροις παρέχουσι, τὴν ἐκείνοις μὲν ὀλεθρίαν, ἑαυτοῖς δὲ ἐπικερδῆ καὶ ὠφέλιμον.

Ἀνὴρ, ἵππος καὶ πῶλος.

ἡ ἵππος πῶλον ἔτεκεν. 1.

ἰλιγγιάσας. 2

ϙε.

Ἀνήρ τις ἐπωχεῖτο θηλείᾳ τινὶ ἵππῳ ἐγκύῳ ὑπαρχούσῃ, καὶ ὁδοιποροῦντος αὐτοῦ πῶλον ἡ ἵππος ἀπέτεκεν. ὁ δὲ πῶλος κατόπιν αὐτῆς εὐθὺς πορευόμενος καὶ ταχέως ἰλιγγιάσας πρὸς τὸν τῆς ἰδίας μητρὸς ἐπιβάτην ἔλεγεν, ἰδού, ὁρᾷς με βραχύτατον καὶ πρὸς πορείαν ἀδύνατον. γίνωσκε τοίνυν, ὡς εἰ ἐνταῦθα ἐγκαταλείψῃς με, αὐτόθεν διαφθείρομαι. εἰ δὲ ἐντεῦθεν ἄρῃς με καὶ ἀπαγάγῃς ἐν τόπῳ καὶ ἀνατραφῆναι παρασκευάσῃς, οὕτως αὐξυνθεὶς ἐν ὑστέρῳ ἐποχεῖσθαί μοι ποιήσω σε.

Ὁ μῦθος δηλοῖ, ὡς ἐκείνους χρὴ εὐεργετεῖν, ὑπὲρ ὧν καὶ ἡ ἀντάμειψις τῆς εὐποιίας ἐλπίζεται.

Ἁλιεὺς καὶ πίθηξ.

κατιδὼν ἐκμιμήσασθαι ἠβουλήθη, omisso αὐτόν. t.

ϙϛ.

Ἀνήρ τις ἁλιεὺς παρὰ τὴν θάλασσαν ἄγραν ἰχθύων ἐποίει. πίθηξ δέ τις αὐτὸν κατιδὼν ἠβουλήθη αὐτὸν ἐκμιμήσασθαι. τοῦ δὲ ἀνδρὸς ἐν σπηλαίῳ τινὶ ἑαυτὸν εἰσελθόντος διαναπαῦσαι καὶ τὸ δίκτυον παρὰ τὸν αἰγιαλὸν λιπόντος, ἐλθὼν ὁ πίθηξ καὶ τοῦ δικτύου λαβόμενος ἀγρεῦσαι ἰχθῦς δι' αὐτοῦ ἐπεχείρει. ἀγνώστως δὲ τῇ τέχνῃ καὶ ἀσυντάκτως χρώμενος καὶ τῷ δικτύῳ περισχεθεὶς ἐπὶ τῆς θαλάσσης, εὐθὺς πέπτωκεν καὶ ἀπεπνίγη. ὁ δὲ ἁλιεὺς καταλαβὼν αὐτὸν ἤδη ἀποπνιγέντα, ἔφη, ὦ ἄθλιε, ὤλεσέ σε ἡ ἀφροσύνη σου καὶ ἡ ματαία ἐπίνοια.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ τὰ ὑπὲρ αὐτοὺς μιμεῖσθαι πειρώμενοι, ἑαυτοῖς ἐντεῦθεν ἐπάγουσι κίνδυνον.

http://digital.slub-dresden.de/ppn346852420/20

οζ.

Κώνωψ τις ἐλθὼν ἐπὶ κέρατος ἔστη ταύρου τινός, καυχώμενος δῆθεν αὐτῷ ἄχθος ἐμπεποιηκέναι. τοῦ δὲ ταύρου παρ' οὐδὲν αὐτὸν λογιζομένου, βουλόμενος ὁ κώνωψ ἐξ αὐτοῦ ἀποπτῆναι καὶ βλάπτων αὐτόν, ἔφη, ὡς ἤπερ ἐπαχθής σοι πέφυκα, ἀπαλλαχθήσομαι ἀπὸ σοῦ. ὁ δὲ ταῦρος φησὶ πρὸς τὸν κώνωπα, οὔτε ἐλθόντος σου ᾐσθόμην, οὔτε ὑποχωροῦντά σε γνώσομαι.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς καὶ ἄνθρωποί τινες, τελείως ἄμα καὶ ἄφρονες προδήλως τυγχάνοντες, δοκοῦσι καθ' ἑαυτοὺς τῶν ἐν τιμῇ τε καὶ δυνάμει διαπρεπόντων ὑπάρχειν.

Ͻ σοῦ omittit. 1.

Ͻ οὗτος abest. 1.

Ἀνὴρ καὶ κύκλωψ.

οη.

Ἀνήρ τις τῶν εὐλαβῶν τυγχάνων, τάχα καὶ τοῖς πρακτέοις σεμνός, ἐπὶ χρόνον ἱκανὸν εὐμαρῶς τοῖς ἰδίοις παισὶ συμβιοτεύων, μετὰ ταῦτα ἐνδείᾳ περιπίπτει ἐσχάτῃ καὶ τὴν ψυχὴν καιρίως ἀλγῶν, ἐβλασφήμει τὸ θεῖον, καὶ ἑαυτὸν ἀνελεῖν κατηναγκάζετο. (λαβὼν δὲ σπάθην ἐπί τινα τῶν ἐρημικῶν τόπων) ἐξῄει, θανεῖν μᾶλλον αἱρετισάμενος, ἤπερ κακῶς ζῆν. πορευόμενος δὲ λάκκον τινὰ βαθύτατον ἔτυχεν εὑρηκώς, ἐν ᾧ χρυσίον οὐκ ὀλίγον παρά τινος τῶν γιγαντιαίων ἀπετέθειτο, ᾧ κύκλωψ τὸ ὄνομα. ἰδὼν δὲ ὁ δῆθεν εὐλαβὴς ἀνὴρ τὸ χρυσίον, φόβου αὐτὸς καὶ χαρᾶς ἀνάπλεως γίνεται, καὶ ῥίπτει μὲν τῆς χειρὸς τὸ ξίφος, αἴρει δὲ τὸ χρυσίον ἐκεῖθεν, καὶ ἄσμενος ἐπὶ τὴν οἰκίαν καὶ τοὺς παῖδας αὐτοῦ ἐπανέρχεται. εἶτα ὁ κύκλωψ ἐπὶ τὸν λάκκον ἐλθών, καὶ τὸ μὲν χρυσίον μὴ εὑρηκώς, ἀντ' αὐτοῦ δὲ κείμενον ἐκεῖσε τὸ ξίφος ἑωρακώς, αὐτίκα τοῦτο σπασάμενος ἑαυτὸν διεχειρίσατο.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς τοῖς κακοῖς ἀνθρώποις ἀκολούθως ἐπισυμβαίνει τὰ φαῦλα· τοῖς δὲ ἀγαθοῖς καὶ εὐλαβέσι, τὰ ἀγαθὰ ταμιεύεται.

Ͻ σεμνῶν. 1.

Ͻ loco eorum, quae hic inclusa sunt in Cod. 1. tantum syllaba πα legitur.

Ͻ αἱρεσάμενος. 2.

Ͻ ἔσχεν, pro ἔτυχεν. 1.

Ͻ τῶν γιγαντιαίων ἀνδρῶν. 1.

Ͻ ἀποτέθειτο. 1.

Ͻ λόγος. 1.

Ͻ τὰ κακὰ ἐπισυμβαίνει, omittit τὰ φαῦλα. 1.

http://digital.slub-dresden.de/ppn346852420/21

## Θηρευτὴς καὶ ἱππεύς.

πθ.

Ἀνήρ τις, θηρευτὴς λαγωὸν κατασχὼν, καὶ τοῦτον ἐπιφερόμενος τῆς ὁδοιπορίας εἴχετο, καὶ τινι προσυπαντηθεὶς ἐφ' ἵππῳ ἀνδρὶ, ἐζητεῖτο παρ' αὐτοῦ τὸν λαγωὸν, προσχήματι ἀπεμπολήσεως. λαβὼν τοίνυν ὁ ἱππεὺς τὸν λαγωὸν ἀπὸ τοῦ θηρευτοῦ εὐθὺς δρομαῖος ᾤχετο. ὁ δὲ θηρευτὴς κατόπιν αὐτοῦ τρέχων φθάσαι αὐτὸν δῆθεν ἐδόκει. τοῦ δὲ ἱππέως ἐπὶ πολὺ τοῦ διαστήματος μακρὰν ἐκείνου ἀπέχοντος, ὁ θηρευτὴς καὶ ἄκων φωνεῖ πρὸς αὐτὸν καί φησιν, ἄπιθι λοιπόν. ἐγὼ γὰρ ἤδη τὸν λαγωὸν ἐδωρησάμην σοι.

Ὁ μῦθος δηλοῖ, ὡς πολλοὶ ἀκουσίως τὰ ἴδια ἀφαιρούμενοι, προσποιοῦνται δῆθεν ἑκόντι ταῦτα δεδωκέναι.

*δρομαίως ς. 2*

*ἱππέως ς. 1.*

*καὶ, omittit. 1.*

## Κύων καὶ λαγωός.

ϟ.

Κύων λαγωοῦ κατατρέχων καὶ τοῦτον καταλαβὼν, ποτὲ μὲν αὐτὸν ἔδακνεν, ποτὲ δὲ τὸ αὐτόθεν ἀπορρέον αὐτῷ αἷμα ἀνέλειχεν. ὁ δὲ λαγωὸς ἐδόκει τὸν κύνα καταφιλοῦν μᾶλλον αὐτὸν, καὶ ὑπολαβὼν εἶπεν πρὸς αὐτὸν, ἢ ὡς προσφιλὴς περιπτύσσου με, ἢ ὡς ἐχθρὸς καὶ πολέμιος κατάδακνε.

Ὁ μῦθος δηλοῖ, ὡς καὶ ἄνθρωποί τινες ἔξωθεν μὲν φιλίαν ὑποκρίνονται, ἔσωθεν δὲ κακίας καὶ ἀπηνείας ~~τε~~ πεπλήρωνται.

*καὶ ὑπολαβὼν, omittit. 2.*
*πρὸς αὐτὸν omittit 2. Pro εἶπεν, ἔφη habet. 1.*

*πεπλήρωνται. 2.*

## Γαλαῖ καὶ μύες.

ϟα.

Γαλαῖς καὶ μυσὶ ποτὲ μάχη συνεκροτεῖτο. ἡττώμενοι δὲ κατὰ κράτος οἱ μύες, καὶ γνόντες ἐξ ἀτονίας πάντως καὶ δειλίας ἡττῆσθαι, σατράπας ἑαυτοῖς καὶ τῆς μάχης ἀρχηγοὺς κεχειροτονήκασιν. οἱ δὲ σατράπαι ἐμφανέστεροι θελήσαντες καὶ περιβλεπτότεροι τῶν ἄλλων μυῶν καθίσασθαι, κέρατα ταῖς ἑαυτῶν κορυφαῖς περιέθεντο. εἶτα πάλιν αἱ γαλαῖ τοῖς μυσὶ προσβαλοῦσαι εἰς φυγὴν πάντας τρέπουσι, καὶ οἱ μὲν ἄλλοι

*προσβαλεῖσθαι. 2.*

http://digital.slub-dresden.de/ppn346852420/22

…ῶες φυγάδες γενόμενοι πρὸς τὰς ἑαυτῶν καταδύσεις εὐθὺς ῥαδίως εἰσῄεσαν. οἱ δὲ τούτων προεξάρχοντες μέχρι τῶν ὤμων καὶ οὗτοι ἂν τῷ φεύγειν ἔφθασαντες τῇ ἐν αὐταῖς εἰσελεύσει ὑπὸ τῶν κεράτων ἐκωλύοντο, καὶ τούτους αἱ γαλαῖ καταλαβοῦσαι ὀλέθρῳ παραδεδώκασιν.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ τοῖς ἄλλοις ἑαυτῶν ὑπερηρκότες, καὶ μὴ τὴν θείαν συμμαχίαν ἐπικαλεσάμενοι, ὑπ' αὐτῶν δὴ καὶ τὸν κίνδυνον ἐπισπῶνται.

νβ.

## Λύκος καὶ λέων.

Λύκος ἁρπάσας χοῖρον καὶ ἀπάγων αὐτὸν λέοντι συνήντησεν. ὁ δὲ λέων εὐθὺς ἀπὸ τοῦ λύκου τὸν χοῖρον ἀφήρπασεν. ἀφαιρεθεὶς δὲ αὐτὸν ὁ λύκος, ἐν ἑαυτῷ ἔλεγεν, πάντως καὶ αὐτὸς ἐθαύμαζον, πῶς ἂν διέμεινε παρ' ἐμοὶ τὸ ἐξ ἁρπαγῆς μοι προσγενόμενον.

Ὁ μῦθος δηλοῖ, ὡς καὶ τὰ ἀλλότρια πράγματα, πλεονεκτικῶς τινὶ καὶ βιαίως ἐπικτώμενα, τοῖς ταῦτα ἁρπάζουσιν οὐκ εἰς τέλος παραμένουσι.

νγ.

## Πτηνῶν βουλή.

Ποτὲ τῶν πτηνῶν εἰς κοινὴν βουλὴν ἐπὶ τὸ αὐτὸ συνελθόντων ἕκαστον αὐτῶν τινὶ τῶν ἄλλων ἐφαρμόζειν τὸ βασιλεύειν πρὸς ἀλλήλους ἐβουλεύοντο. ὁ δὲ ταὼν ἔφη τοῖς λοιποῖς, ὡς ἔμοιγε προσήκει ἡ βασιλεία, ὅτι κάλλει καὶ ὡραιότητι σεμνυνομένῳ. τῶν δὲ ἑτέρων ὀρνέων ἐπαρεσθέντων τῷ ταῶνι, παρελθὼν εἰς μέσον ὁ κόραξ ἀντεῖπεν, ἐὰν σὺ τὴν βασιλείαν παραλάβῃς, ὅπως γε τοῦ ἀετοῦ ἡμῖν ἐπερχομένου δύνασαι ἡμᾶς τῆς ἐκείνου ἐξαιρεῖσθαι προσβολῆς;

Ὁ μῦθος δηλοῖ, ὡς τὸ βασιλεύειν οὐ τοῖς τῷ κάλλει φαιδρυνομένοις ἁρμόττει, ἀλλὰ τοῖς ῥωμαλέοις καὶ ἐν γενναιότητι διαπρέπουσιν.

Marginal notes:

εὐθεὶ. l. Forte scriptum erat in exemplari εὐθύ.

τοῦτον. l.

καὶ, post ἂν, addit. l.

ἑαυτῶν. l.

ἐφαρμόζειν. l.

πτηνῶν, loco ὀρνέων. l.

## Νεανίσκος καὶ γραῦς.

νδ.

Νεανίσκος τις ὁδοιπορῶν ἐν ἡμέρᾳ καύσωνος, ἐντυγχάνει γυναικί τινι γραΐδι, ἥτις καὶ αὐτὴ τὴν αὐτὴν ὁδὸν τῷ νεανίσκῳ συνεπορεύετο. ὁρῶν δὲ αὐτὴν ἐκεῖνος τῷ τε καύσωνι, καὶ τῷ τῆς ὁδοιπορίας καμάτῳ δεινῶς ἰλιγγιῶσαν καὶ τῷ πλήθει τῆς ἀσθενείας καὶ μηκέτι ἐξισχύσαν ὅλως πορεύεσθαι ἄρας ταύτην τῆς γῆς ἐπὶ τῶν νώτων αὐτοῦ διεβάσταζεν. ταύτην δὲ περιφερόμενος λογισμοῖς τισὶν αἰσχρᾶς ἐπιθυμίας δεινῶς ἐταράττετο, ὑφ' ὧν καὶ πρὸς ἔσχατον ἀκολασίας καὶ σφοδρὸν ἔρωτα ὁ αὐτοῦ ἤγετο ὀφθαλμός. εὐθὺς δὲ τῇ γῇ καταθεὶς τὴν γραΐδα ταύτῃ ἀκολάστως συνεγίνετο. ἡ δὲ πρὸς αὐτὸν ἀπλοϊκῶς ἔλεγε· τί ἐστιν, ὃ ἐπ' ἐμοὶ ἐργάζῃ; ὁ δὲ αὐτῇ ἔφη, ὡς βαρεῖα πέφυκας, καὶ τούτου χάριν ἀπογλύψαι σου τῆς σαρκὸς διανενόημαι. ταῦτα εἰπὼν καὶ εἰς τέλος αὐτῇ συμφθαρείς, πάλιν τῆς γῆς ταύτην ἐξάρας αὐτὴν, ἐπὶ τὰ ἑαυτοῦ νῶτα ἔθετο. φησὶν οὖν ἡ γραῦς· εἰ ἔτι σοι βαρεῖα καὶ ἐπαχθὴς πέφυκα, πάλιν με καταγαγὼν, πλέον ἀπ' ἐμοῦ ἀπόγλυψον.

Ὁ μῦθος δηλοῖ, ὡς τῶν ἀνθρώπων τινὲς, τὴν ἰδίαν πληροῦντες ἐπιθυμίαν, προφασίζονται, ὡς ἐξ ἀγνοίας τὸ γεγονὸς διεπράξαντο, δόξαντες δῆθεν μὴ ἐκεῖνο, ἀλλ' ἕτερόν τι τῶν δεόντων πεποιηκέναι.

ↄ ταύτην omittit 1.
ↄ τῶν νώτων. 1.
ↄ πρὸς αὐτὴν, loco αὐτῇ. 1.
ↄ καὶ ταῦτα. 1.
ↄ αὐτῇ συμφθαρεῖσαν. 1.
ↄ αὐτὴν abest. 1.
ↄ γραῦς αὐτὸν 1. Forte ergo πρὸς excidit.
ↄ post ἀπόγλυψον, addit 1. ἵνα κουφοτέρα σοι γενήσομαι.
ↄ μᾶλλον hic interponit. 1.

## Ἥλιος, βορρᾶς καὶ ἄνθρωπος.

νε.

Ὁ ἥλιος καὶ ὁ βορρᾶς ἄνεμος ποτὲ πρὸς ἀλλήλους ἤριζον, ποῖος ἐξ ἀμφοτέρων τὸν ἄνθρωπον ἀπογυμνοῦν δύναται. ἤρξατο οὖν πρῶτος ὁ βορρᾶς σφοδρῶς πνέειν κατὰ τοῦ ἀνθρώπου. ὁ δὲ ἄνθρωπος, καθόσον ἐψύχετο, τοῖς ἱματίοις ἑαυτὸν περιέβαλλεν καὶ κραταιῶς αὐ-

http://digital.slub-dresden.de/ppn346852420/24

σφοδροτάτῃ. 1.

τῶν περιείχετο, ὅμως τῇ σφοδροτάτῃ τοῦ ἀνέμου προσβολῇ ἐκ τοῦ σώματος αὐτοῦ ἀναρπασθῶσιν. ὅθεν καὶ καθ' ὅσον ὁ Βορρᾶς τὸν ἄνδρα παρέβλαψε, ὅτι τῶν περικειμένων ἀμφίων ἀπογυμνῶσαι ἠδυνήθη. εἶτα καὶ ὁ ἥλιος ἐπιλάμψας αὐτῷ καὶ τὸν ἀέρα τῆς ἡμέρας σφόδρα διαθερμάνας αὖθις τὸν ἄνδρα τὰ ἱμάτια παρεσκεύασεν ἀποδύσασθαι καὶ ἐπ' ὤμων ταῦτα ἐπιφέρεσθαι.

Ὁ μῦθος δηλοῖ, ὡς τὸ ταπεινοφρονεῖν ὑπὲρ τὸ βιαίως κομπάζειν ἐνεργέστερον ἐπὶ πᾶσι καὶ πρακτικώτερον πέφυκεν.

πέφυκεν omittit. 2.

νς.

## Ἀνέρες δύο καὶ κύων.

Ἀνήρ τις ὑπὸ κυνὸς καιρίως δηχθείς, ἐζήτει τὸν τὴν αὐτοῦ πληγὴν θεραπεύοντα. ἕτερος δέ τις αὐτῷ συναντήσας, ἔφη πρὸς αὐτόν, τοῦτο προσήκει ποιῆσαί σε ἀπὸ τοῦ τῆς πληγῆς αἵματος ἐπιστάλαξαι τῷ ψωμῷ καὶ τῷ δακόντι κυνὶ τὸν ψωμὸν ἐπιρρῖψαι, καὶ οὕτως ἡ πληγή σου θεραπευθήσεται. ὁ δὲ δηχθεὶς ἀντέφη αὐτῷ, εἰ τοῦτο ποιήσω, ὑπὸ πάντων τῶν ἐν τῇδε τῇ πόλει κυνῶν ἔσομαι δακνόμενος.

Ὁ λόγος δηλοῖ, ὡς εἰ καὶ τὸν σκαιὸν ἄνθρωπον τιμήσειέ τις καὶ δεξιώσαιτο, ἀλλ' οὐκ ἐκεῖνος αὐτὸν τιμήσαντα .. ... ἀλλὰ τοὺς ὁμοίους αὐτῷ κακοὺς ἀγαπᾷ.

θεραπεύοντα. 1.

ποιῆσαί σε 2.

In Codice post τιμήσαντα est spacium vacuum unius vocabuli. Forte hic locus ita constitui potest: ἀλλ' οὐκ ἐκεῖνος οὐ τὸν τιμήσαντα αὐτόν, ἀλλὰ τοὺς κ.τ.λ.

νθ.

## Ὄρνις καὶ χελιδών.

Ὄρνις τις εὑροῦσα ὠὰ ὄφεως ἐσχόλαζε τῇ αὐτῶν διατριβῇ καὶ ταῦτα ὑποθάλπουσα ἐπεκάθητο. χελιδὼν δέ τις αὐτὴν θεασαμένη, ὦ μωρὰ καὶ ἀναίσθητε ἔφη, τίνος χάριν ὄφεως περιθάλπεις γεννήματα; εἰ γὰρ αὐξηνθῶσι, σοὶ πρότερον ἐμποιήσουσι τὸν ὄλεθρον καὶ μετέπειτα ἑτέροις.

Ὁ μῦθος δηλοῖ, ὡς οὐ χρή τινα ἐπὶ διαθέσει [illegible] ἀνδρὸς καταπιστεύειν, κἂν πολλὴν αὐτῷ τὴν εὔνοιαν ἐπιδείξαιτο.

ταῦτα ὑπόθαλπε τῇ αὐτῶν διατριβῇ (hoc enim bis legitur) ἐπεκάθητο. 1.

ἀναίσθητα. 1.

σοὶ πρότερον. 1.

αὐτῷ, abest. 1.

ἐπιδείξηται. 1.

**Στρουθὸς καὶ ἰξευτής.**

Ↄ μυρσίνης s. 1.

Ↄ τις omittit. 1.

Ↄ ἀποστερήσομαι [illegible]

Στρουθός τις ἐπὶ ~~[illegible]~~ μυρσίνης διέτριβε, καὶ διὰ τὸ ἡδὺ τῆς τοῦ δένδρου διαίτης, οὐδ᾽ ὅλως αὐτοῦ ἀφίστατο. ἰξευτὴς δέ τις τοῦτον παρατηρησάμενος κατέσχε τε καὶ κατέθυσεν. ὁ δὲ στρουθὸς μέλλων ἀποσφάττεσθαι πρὸς ἑαυτὸν ἔλεγεν, οἴμοι τῷ ταλαιπώρῳ, ὅτι διὰ τροφῆς ἡδονὴν τοῦ ζῆν ἀποστερήσομαι.

Ὁ μῦθος δηλοῖ, ὡς καὶ ἄνθρωποί τινες δι᾽ ἔθισιν τρυφῆς καὶ ἁβρότητος περὶ τὸ ζῆν πολλάκις ὡς μοχθηροὶ κινδυνεύουσιν.

**Κάμηλος κεράτων ἐφιεμένη.**

Ↄ τὰ ἑαυτῆς. 1.

νθ.

Κάμηλος κεράτων ἐφιεμένη, ἐδεῖτο τοῦ Διὸς ἑαυτῇ ταῦτα προσγενέσθαι. ὁ δὲ Ζεὺς ὀργισθεὶς μᾶλλον ἐπὶ τῇ αὐτῆς ἀπληστίᾳ καὶ τὰ αὐτῆς ὦτα ἐκολόβωσεν.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ τοῦ πλείονος ὀρεγόμενοι, καὶ ὧν ἔχουσιν ἀποστεροῦνται.

**Κύκνοι καὶ χῆνες.**

Ↄ οὖν abest. 1.

ξ.

Κύκνοι καὶ χῆνες ἀλλήλοις φιλιωθέντες ἐπὶ τῆς πεδιάδος, ἐξῆλθον, καὶ νεμομένων αὐτῶν ὁμοθυμαδὸν θηρευταὶ αὐτοῖς ἐπῄεσαν. καὶ οἱ μὲν οὖν κύκνοι διὰ τὴν τοῦ σώματος ταχυτῆτα, εὐθὺς πτερωθέντες ἔφυγον. αἱ δὲ χῆνες τῇ ἑαυτῶν φυσικῇ βραδυτῆτι ἐπεχόμεναι, ὑπὸ τῶν θηρευτῶν κατεσχέθησαν.

Οὗτος ὁ λόγος παρίστησι τοὺς μὴ ὁμοτρόπως τοῖς ἑαυτῶν φίλοις προσανέχοντες, ἀλλ᾽ ἐν καιρῷ περιστάσεων, τούτων ἀφισταμένους.

**Λύκοι καὶ ἀνής.**

Ↄ αὐτῶν abest. 1.

ξα.

Λύκοι τινὲς ἔν τινι ποταμῷ δέρματα βοῶν ἑωρακότες καὶ ταῦτα σπουδάζοντες ἐπειδὴ ἀνελκύσαι, τῆς τοῦ ποταμοῦ ἀποκρημνίας, βαθείας οὔσης, αὐτῶν καταπολυμβῆσαι οὐκ ἠδύναντο, ὅθεν ἐβουλεύσαντο κατ᾽ ἑαυτούς, πρότερον τὰ ὕδατα καταπιεῖν, καὶ οὕτως τὰ δέρματα φθάσαι καὶ

ἀνασπάσαι. ἀνὴρ δέ τις ὑπολαβὼν ἔφη πρὸς αὐτούς, εἰ ὅλως πειρᾶσθε τὰ τοιαῦτα καταπιεῖν ὕδατα, αὐτοὺς διασπασθέντας καὶ τῆς ζωῆς στερηθήσεσθε.

Ὁ μῦθος οὗτος ἐλέγχει τοὺς τοῖς ἀνηνύτοις ἐξ ἀφροσύνης ἐπιχειροῦντας.

ξβ.

Τέττιξ ἄνδρα τινὰ θεασάμενος κατασχεῖν αὐτὸν μηχανώμενον, ἔφη πρὸς αὐτόν, ἐν ἐκείνοις τοῖς ὀρνέοις ὑπάρχω, παρ' ὧν σοι καὶ ὄφελός τι προσγενήσεται. ἐμὲ γὰρ εἰ κατάσχῃς, οὐδὲν ἐξ ἐμοῦ τὸ παράπαν κερδανεῖς.

Ὁ μῦθος δηλοῖ, ὡς οὐ χρή τινα τῶν ἀχρήστων καὶ ἀνονήτων ἐφίεσθαι.

Τέττιξ καὶ ἀνήρ.

Ͻ τις interponit. 1.

Ͻ μηχανώμενος. 1.

Ͻ τι s. Z.

Ͻ δεῖ. 1.

Michael Gramm. Fabr. bib. Gr. vol. X. p. 229

† Melitinopuls, Xanth. vulgo Syropuls

## Ἐπίγραμμα.

Τοῦ μυθογράφου σύντιπα κατὰ σύρους:
Μᾶλλον δὲ περσῶν τοῦ σοφοῦ λογογράφου:
Αὕτη πέφυκεν ἣν βλέπεις δέλτος φίλε:
Ἣν καὶ συρικῆς τοῖς λόγοις γεγραμμένην:
Εἰς τὴν παροῦσαν αὐτὸς ἑλλάδα φράσιν:
Μετήγαγόν τε καὶ γέγραφα τὴν βίβλον:
Τὸ γραμματικὸν ἔσχατος γε τυγχάνων:
Ἀνδρεόπωλος μιχαὴλ χριστοῦ λάτρης:
Ἔργον τυπικῶς πρὸς τεταγμένον τόδε:
Παραγγελίᾳ τοῦ μεγιστάνου κλέους:
Δουκὸς σεβαστοῦ πόλεως μελιτηνῆς:
Ὡς ἐστὶν χριστοῦ θερμῶς ὄντως οἰκέτης:
Ὃς καὶ διωρίσατο γραφῆναι τάδε:
Ὀλιγαχῇ πρὸς ἐστι ῥωμαίων βίβλοις:
Ἡ συγγραφὴ γὰρ ἥδε τοὺς κακεργάτας:
Διασύρει μάλιστα καὶ πρὸς τῷ τέλει:
Πράξεις ἐπαινεῖ τὰς καλῶς εἰργασμένας:

II

http://digital.slub-dresden.de/ppn346852420/29

http://digital.slub-dresden.de/ppn346852420/30

Msc. Dresd.
Da. 32.

http://digital.slub-dresden.de/ppn346852420/31

http://digital.slub-dresden.de/ppn346852420/32